χωρῶ χωρήσω, αἰτιατικῇ. χωρίζω δὲ τὸ διαχωρίζω.

χώσασθαι λυπηθῆναι.

χωστρίς.

ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

ψαθαρόν ἁπαλόν. οὕτως Πλάτων καὶ Ἀριστοτέλης περὶ ζῴων.

Ψαθυριανοί αἵρεσίς τις οὕτω καλουμένη, διότι Θεόκτιστός τις ψαθυροπώλης διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. καὶ ζήτει ἐν τῷ Ἀρειανοί.

ψαθυρόν ξηρόν· ⟨Ps. 102 3⟩ "καὶ τὰ ὀστᾶ μου ὡσεὶ καῦσις ἐψαθυρώθη."

ψαίκαλον τὸ ἀρνίον.

ψαίρειν τὸ ταχύνειν, ἔνθεν καὶ αἰψηρός.

ψαιστά ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίων τοῖς θεοῖς. ψαιστὰ δὲ καλεῖται ἀπὸ τῆς τȣ͂ μύλωνος περιψήσεως. ἢ πέμμα, ἢ εἶδος πλακȣ͂ντος. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 17⟩ "σοὶ τάδε πέμπω ψαιστία καὶ λιτῆς δῶρα θυηπολίης," καὶ αὖθις ἐν ἐπιγράμματι ⟨6 190⟩ "καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον." καὶ ψαιστῶν, ἅπερ ἦν ἄλφιτα ὑπὸ μύλης κατεψηγμένα. καὶ αὖθις ⟨6 300⟩ "ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἔλαιον." τὸ δὲ πιήεντα λιπαρά.

ψαίστορα· ⟨AP 6 295⟩ "σπόγγον ἔχειν καλάμων ψαίστορ' ἀπὸ Κνιδίων."

ψακάζει ῥαίνει· Ἀριστοφάνης ⟨Pac. 120⟩ "ἔνδον ἀργυρίȣ μὴ ψακὰς ᾖ πάνυ πάμπαν," ἀντὶ τȣ͂ οὐδὲ τὸ σμικρότατον· ὃ καὶ νιφὰς καλεῖται. ἢ μηδὲ ὀβολȣ͂ ὄντος ἡμῖν.

ψάκελον μέγα.

ψακροπόδης ὄνομα ἐπίθετον.

ψαλάσσετε ψηλαφᾶτε· Ἀριστοφάνης ⟨Lys. 84⟩ "ἦπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε·" τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ἐψηλάφων, εἰ λιπαρά ἐστι. καὶ ἀψάλακτος· Ἀριστοφάνης ⟨275⟩ "πρῶτος ἀπῆλθεν ἀψάλακτος, ἀλλ' ὅμως Λακωνικὸν πνέων."

ψαλίδα, ἣν ἡμεῖς ἀψῖδα φαμέν· Νόμων ιβ' ⟨p. 947⟩ "θήκην δὲ ὑπὸ γῆν αὐτοῖς εἰργασμένην εἶναι ψαλίδα προμήκη λίθων πολυτίμων."

ψαλίοις χαλινοῖς· Ἀριστοφάνης ⟨Pac. 155⟩ "χρυσοχάλινον πάταγον ψαλίων."

ψάλλειν· ⟨Dio Cass. 49 27⟩ "ὁ δὲ Φραάτης ἐπὶ δίφρου χρυσοῦ ἐκάθητο, τὴν νευρὰν τοῦ τόξου ψάλλων," ἀντὶ τοῦ προσεγγίζων.

ψαλλομένης τιλλομένης. κυρίως δέ ἐστι ψάλλειν τὸ τῷ ἄκρῳ τῶν δακτύλων τῶν χορδῶν ἅπτεσθαι. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 103⟩ "μιλτοφυρῆ τε σχοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι."

ψαλλόμενος ὁ ἀκροώμενος ψάλτȣ, καὶ κιθαριζόμενος ὁ κιθάρας ἀκροώμενος.

ψάλλω δοτικῇ. αἰτιατικῇ δέ "τὴν νευρὰν τȣ͂ τόξȣ ψάλλων."

ψαλτήριον ὄργανον μȣσικόν, ὅπερ καὶ νάβλα καλεῖται.

ψάλτης καὶ ψαλτής. τὰ εἰς της λήγοντα, ἔχοντα τὴν παραλήγȣσαν εἰς ἀμετάβολον λήγȣσαν, ἀπρόσληπτα ὄντα τȣ͂ σ κατὰ τὴν γενικήν, βαρύνονται, εἰ μὴ εἴη μετοχικά, οἷον ὑφάντης ἀγύρτης εὐφράντης· τὸ δὲ ἑκοντής καὶ ἐθελοντής μετοχικά. παρὰ δὲ Ἀττικοῖς ὀξύνονται καθαρτής, ἀμυντής ἐπὶ τȣ͂ βοηθȣ͂, φαιδρυντής ποικιλτής ψαλτής πραϋντής.

ψάλτιγξ κιθάρα.

ψάμαθος παραθαλάσσιος ἄμμος· ἄμαθος γὰρ ἡ μεσόγειος ⟨cf. v. ἄμαθος⟩.

ψαμμακοσιογάργαρα. ἀπὸ λέξεων τὸ σύνθετον ἐγένετο δηλȣσῶν πολλά. σύγκειται γὰρ ἀπὸ τȣ͂ τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος νεανιεύεται τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι· "οἶδα δ' ἐγὼ ψάμμȣ τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης." καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπών "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς." δύναται δὲ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια, ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν δέκα ἀριθμὸν μέχρι τῶν χιλίων· ὅς πλήθȣς ἐστὶ πολλȣ͂ σημαντικός, οἷον διακόσια τριακόσια καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθȣς λαμβάνεται διὰ τὴν συγγένειαν τȣ͂ γ τὴν πρὸς τὸ κ· εἴρηται δὲ ἀντὶ τȣ͂ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ⟨Υ 157⟩· "κάρκαιρε δὲ γαῖα πόδεσσι." μέμνηται καὶ Κρατῖνος· "ἀρίστων ἀνδρῶν πᾶσα γαργαίρει πόλις," οἷον πλήθει.

ἄλλως. οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο, παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει οὕτως "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς," ἀπὸ τῆς ψάμμȣ ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθȣς ἐτίθετο, ὡς

ἐν Λημνίαις "ἀνδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία." καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς "ἔνδον γὰρ ἡμῖν γάργαρα," καὶ παρὰ Σώφρονι "ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαιρε," καὶ ἐν τῇ τραγῳδίᾳ "χρημάτων τε γάργαρα." θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ "κάρκαιρε δὲ γαῖα πόδεσσι" τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν, οἷον γάργαιρε· καὶ τὸν καρκίνον δὲ οὕτως ὀνομάζεσθαι διὰ τὸ πλῆθος τῶν ποδῶν ⟨sch. A Ach. 3⟩.

Ψαμμήτιχος. ὅτι Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγυπτίων Ἄζωτον πόλιν ἐπολιόρκησεν, εἰς ὃ ἐξεῖλεν. αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων ἐπὶ πλεῖστον χρόνον πολιορκουμένη ἀντέσχε, τῶν ἡμεῖς ἴσμεν ⟨Herodot. 2 157⟩.

Ψαμμίαιχος ὄνομα κύριον.

ψάμμος ἡ παραθαλάσσιος γῆ.

ψᾶν.

ψανθεοφάνιχος. οὕτως ἐκαλεῖτο Ἰωσὴφ ὑπὸ Φαραώ, τουτέστι κρυπτῶν εὑρετής ⟨Ios. A. I. 2 6⟩.

ψᾶρες καὶ κολοιοὶ εἴδη ὀρνέων. Hom. *Π* 583.

ψαρόν εἶδος χρωμάτων· ψαρὸς γὰρ ἵππος ὁ τὸ χρῶμα τοιοῦτος. ἢ ὁ ταχύς, ἀπὸ τοῦ ψαίρειν, ἔνθεν καὶ αἰψηρός.

ψατάλλειν καὶ ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

ψαύει ἅπτεται. "ὡς ἐμψύχῳ θεοῦ κιβωτῷ ψαυέτω μηδαμῶς." "αἱ δὲ σάρκες τοῦ ἁγίου προσψαύσασαι τῷ πυρί.

ψαφαρῇ· ⟨AP 6 231⟩ "καὶ νάρδῳ ψαφαρῇ, κεγχρίτισιν ἰσχάσιν ἀμφί," καὶ αὖθις ἐν μύθοις "ἕστασαν, οὐδὲ κόμας ψαφαρῇ μεμίαντο κονίῃ."

ψαφαρόν ἀσθενές, ἐλαφρόν, κακόν, εὔθραυστον. Ἀππιανός ⟨Ann. 4⟩ "ὅτι Ἀννίβας ὁ στρατηγὸς Καρχηδονίων διαβὰς τὰ Πυρηναῖα ὄρη εἰς τὴν Κελτικὴν τὴν νῦν Γαλατίαν, καὶ διώδευε τὴν χώραν, ἐλθὼν δὲ ἐπὶ τὰ Ἄλπεια ὄρη καὶ εὑρὼν ἀπόκρημνα ἰσχυρῶς ἐπέβαινε κἀκείνοις, ὑπὸ τόλμης κακοπαθῶν, τὴν μὲν ὕλην τέμνων τε καὶ κατακαίων, τὴν δὲ τέφραν σβεννὺς ὕδατι καὶ ὄξει, καὶ τὴν πέτραν ἐκ τοῦδε ψαφαρὰν γινομένην σφύραις σιδηραῖς θραύων καὶ ὁδοποιῶν."

ψέγω αἰτιατικῇ.

ψεδνή ἀραιά. καὶ ψεδνός ἀραιόθριξ, μαδαρός.

ψεῖσαι σιτίσαι, ψωμίσαι.

ψεκάς δρόσος. Ἀντίμαχος οὕτως ἐκαλεῖτο ψεκάς. ἐπὶ τῶν πτυελωδῶν. οὗτος δὲ μελῶν ··· ἐπείνων. περὶ τούτου τοῦ Ἀντιμάχου φησὶν ὁ Ἀριστοφάνης ⟨Ach. 1156⟩ "ὃν ἔτ' ἐπίδοιμι ··· κακὸν ἔν" ⟨cf. v. τευθίδας⟩.

ψελίῳ περιοχῇ· ὁ κύριος ἐν Ἰὼβ ⟨40 21⟩ περὶ τοῦ δράκοντος, τουτέστι τοῦ διαβόλου, "ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ." τὸ ψέλιον κόσμος τῆς χειρός· καὶ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας "παρ' οὐδὲν τιθέμενος τὴν τοῦ ἱεροῦ γράμματος συμβουλήν, ὅπερ οὖν οἷα δήπου ψέλιον τῷ βασιλεῖ τῶν Αἰγυπτίων ἐκ τοῦ νόμου προσήρτητο, ἀναστέλλον τῶν ἀδικημάτων."

ψελλός ἀσήμως καὶ ἀνάρθρως λαλῶν, τραυλός.

ψενδυνοί σπόνδυλοι.

ψευδαμάμαξυς ὁ ψευδόπλουτος ⟨A Vesp. 325⟩.

ψευδατραφάξυος πλέα ἀντὶ τοῦ πλήρη ψευσμάτων. ἀτράφαξυς δὲ εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος πλέαν εἶπε τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται ⟨sch. A Eq. 627⟩.

ψευδεγγραφή ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ. Harp.

ψευδέγγραφος δίκη. τῶν δημοσίᾳ ὀφειλόντων τὰ ὀνόματα ἀπογράφονται οἱ ταμίαι, καὶ ὅσα ἕκαστος ὀφείλει. ἐὰν οὖν μὴ ὀφείλοντα ἐγγράψῃ τις, ἢ ὀφείλοντα μὲν ἐγγράψῃ, πλέον δὲ τοῦ ὀφειλήματος, οὗτος ψευδεγγραφῆς κρίνεται.

ψευδενέδρα· Ξενοφῶν ⟨Anab. 5 2 28⟩ "ὡς δὲ ἐφοβοῦντο τὴν εἰς Τραπεζοῦντα κατάβασιν, πρανὴς γὰρ ἦν, ψευδενέδραν ἐποιήσαντο."

ψευδῆ ψευδῶς.

ψευδηγόρος ψευδολόγος.

ψευδὴς ἐγγραφή. τȣ̃το μὲν ὄνομα δίκης, ζητήσειε δ' ἄν τις τίνι διαφέρει ψευδεγγραφὴ βȣλεύσεως· καὶ γὰρ διαφέροντα τίθησιν ὁ Λυκοῦργος. τάχα οὖν ψευδεγγραφῆς μὲν ἐλάγχανον οἱ μὴ ὀφείλοντες μέν, ἐγγραφέντες δὲ ψευδῶς, βȣλεύσεως δὲ οἱ πάλαι μὲν ὠφληκότες, ἀποδόντες δὲ καὶ αὖθις κατ' ἐπιβȣλὴν ψευδῶς ἐγγραφέντες.

ψευδοκλησία ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ' ἑαυτῶν ὡς τὴν δίκην ἀφ' ἧς ὦφλον, ὡς Ἰσαῖος φησί. Harp.

ψεύδομαι αἰτιατικῇ.

ψευδόμαντις.

ψευδομυθία ψευδολογία.

ψευδόπτωμα. Ἀριστοφάνης ⟨Eq. 574⟩ "εἰ δέ πȣ πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, τοῦτ' ἀπεψήσαντ' ἄν" διὰ τὸ μὴ φαίνεσθαι πεπτωκέναι. τὸ δὲ εἶδος τοῦ παλαίσματος ψευδόπτωμα καλοῦσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐςιν, ὅτι οἱ πρόγονοι εἰ καὶ ἡττήθησαν, τὴν ἧτταν ἀνεκαλοῦντο, καὶ τοῖς νενικηκόσιν, ἡττηθεῖσιν ἐκ δευτέρȣ, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν.

ψευδόπυρα στρατήγημα, ὅπερ ποιȣ̃σι διὰ νυκτὸς καίοντες πυρὰ πρὸς κατάπληξιν τῶν πολεμίων.

ψεῦδος ἡ ἀνθρωπίνη εὐημερία· καὶ ὁ Δαβίδ "ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μȣ, πᾶς ἄνθρωπος ψεύστης" ⟨Theodoret. in Ps. 115 2⟩.

ψευδοσέληνον ἡ ἀμαυρὰ σελήνη.

ψευδώνυμοι διεψευσμένοι τῷ ὀνόματι, ψευδολόγοι.

ψευσθέντα ἀπατηθέντα· "ψευσθέντα δὲ αὐτὸν ὑπ' ἀνδρὸς ἀπατεῶνος μὴ μένειν ἀπόμαχον. ἐκείνῳ γὰρ βȣλαί τε καὶ λόγοι παντοῖοι, ὅπως τȣ̃ πολέμȣ περιέσοιτο." καὶ ψευσθῆναι γενικῇ.

ψεῦσον. σύνηθες τὸ σχῆμα. Μένανδρος "οἶσθ' ὃ ποίησον," καὶ ὁ Σοφοκλῆς "μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος" ⟨sch. A Th. 877⟩.

ψήγματα μικρὰ κομμάτια.

ψηκεδών κονιορτός.

ψήκτρα ἐργαλεῖον δι' ȣ̔̃ τȣ̀ς ἵππȣς κνήθομεν. ἐν ἐπιγράμματι ⟨AP 6 233⟩ "καὶ πριστὸν ψήκτρης κνῆσμα σιδηρόδετον," καὶ αὖθις ⟨6 246⟩ "καὶ ψήκτραν ἵππων ἐρυσίτριχα, τήν τ' ἐπὶ νώτων μάστιγα, ῥοίζȣ μητέρα θαρσαλέην." ⟨6 307⟩ "ψήκτραν ἄκιτιν ἀπέπτυσεν."

ὅτι ὁ ψηκτὴρ καὶ δεῖνος λέγεται ⟨an ψυκτὴρ καὶ δῖνος⟩.

ψῆλαι ἀντὶ τȣ̃ ψᾶλαι, κατὰ τροπήν.

ψηλαφίζει ἀντὶ τȣ̃ ψηλαφᾷ· ȣ̔̃τως Ἀναξίλας. καὶ ψηλαφῶ αἰτιατικῇ.

ψήληκες τῶν ἀλεκτρυόνων οἱ νοθαγένναι.

ψῆνας τȣ̀ς ἰχθύας.

ψῆνες κωνώπια τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα· οἵτινες καὶ τῶν ὀλύνθων περιιπτομένων ταῖς συκαῖς πεπαίνȣσι τὰ σῦκα. καὶ ὑπεψηνισμένη ἀπὸ τȣ́τȣ ἡ ἐγκύμιον.

ψηνίζω. καὶ παροιμία "ȣ̓δεὶς κομήτης ὅστις ȣ̓ ψηνίζεται." "ὅστις ȣ̓. τὸ δὲ ἀκροτελεύτιον αὐτὸς σὺ πρὸς τὴν ἠχὼ τȣ̃ τριμέτρȣ συνάρμοσον· ȣ̓ γὰρ ἔγωγε φθέγξομαι τὸ δεινὸν ἐκεῖνο καὶ πρᾶγμα καὶ ὄνομα" ⟨Synes. p. 85⟩.

ψηνίξαι ξύσαι, σοβῆσαι.

ψηνός ὁ φαλακρός.

ψῆρας ψάρȣς, ὄρνεα· Ὅμηρος ⟨Π 583⟩ "κολοιούς τε ψῆράς τε." καὶ αὖθις ⟨AP 7 172⟩ "ὁ πρὶν ἐγὼ καὶ ψῆρα καὶ ἁρπάκτειραν ἐρύκων σπέρματος ὑψιπετῆ Βιςονίαν γέρανον."

ψηρόν ξηρόν.

ψησία εἶδος ἰχθύων.

ψῆττα τῶν πλατέων τις ἰχθύων. ἔνιοι βούγλωσσον. δοκεῖ δέ τισιν ἐκ δύο συγκεῖσθαι δερμάτων τὴν ἰδέαν, διῄρηται δὲ κατὰ τὸ μέσον ὡς οἱ σφῆκες. ἢ ὀρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον ὡς οἱ σφῆκες· Ἀριστοφάνης ⟨Lys. 115⟩ "ἐγὼ δὲ κἂν ὡσπερεὶ ψῆτταν δοκῶ δȣ̃ναι ἐμαυτῆς παρταμȣ̃σα θἤμισυ," ἀντὶ τȣ̃, κἂν συμβῇ τέμνεσθαί μȣ τὸ ἥμισυ, βȣ́λομαι.

ψηφῖδες ψῆφοι. Hom. Φ 260.

ψηφίσματα γνῶμαι ἀρέσκȣσαι. "ξυνήρεσε δὲ τὰ τοιάδε, εἰ ὁ Ῥωμαίων βασιλεὺς τῷ δόγματι ἐπιψηφίσοιτο," ἀντὶ τοῦ ἀρεσθῇ.

ψηφολόγοι. ψηφολόγοι εἰσὶν οἱ ψηφο- a παῖκται. ψηφολογικοὶ γȣ̃ν οἱ πλανῶντες καὶ ἀπατῶντες, ὥσπερ οἱ ψηφολόγοι τȣ̀ς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων ἀπατῶντες συναρπάζȣσι.

ψηφολόγοι οἱ λόγον καὶ φροντίδα ποιȣ́- b μενοι τῆς διὰ τῶν ψήφων ἀπάτης.

a ψῆφος κρίσις, ἀπόφασις, διαλαλιά, λόγος. καὶ ἀψήφιστον· "ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει ἐπιτελεῖ πᾶσαν τὴν γραφήν." καὶ αὖθις ⟨A Lys. 699⟩ "ὁ γὰρ ἔσται δύναμις, ἑδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ·" οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο τί πρακτέον καὶ τί μή.

b ψῆφος. ψῆφον καλῦμεν λίθον τὸν ἐν τῷ δακτυλίῳ, καὶ τῶν χρημάτων τὸν ἀριθμόν ⟨Artemid. 2 5⟩.

ψῆφος μέλαινα ἡ καταδικάζυσα, λευκὴ δὲ ἡ δικαιῦσα· Πισίδης "ψήφυ μελαίνης ἐξεφώνησε κρίσιν."

ψηφοφορία ἡ πολλῶν ψῆφος καὶ ἀποδοχή. ⟨A Lys. 705⟩ "κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν τῦ σκέλυς λαβών ὑμᾶς τις ἐκτραχηλίσῃ θέλων."

ψήχειν καταμάσσειν, τρίβειν, ξύειν· "οἱ δὲ Μαυρούσιοι παραυτίκα τὺς ἵππυς ἔψηχον, οἱ δὲ λόγχας οἱ δὲ ξίφη ἠκόνων." καὶ ἐν ἐπιγράμματι ⟨AP 7 225⟩ "ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρυ φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ."

ψήχομαι τὸν δικαστήν."

ψηχράν τὴν λεπτήν.

ψιά χαρά.

ψιάδες ῥανίδες, ςαγόνες, ψεκάδες. Hom. *Π* 459.

ψιάθιον. καὶ ἐπίρρημα ψιαθηδόν.

ψιάθυ θηλυκόν. λέγεται δὲ παρ' Ἀριστοφάνει ⟨Ran. 575⟩ καὶ ἀρσενικῶς τὺς ψιάθους.

ψίδωνες διάβολοι, ψίθυροι.

ψίεντα μακάριον.

ψιζομένη κλαίυσα.

ψιῆναι ψέξαι ⟨an ψίξαι⟩.

ψιθυρίζει, αἰτιατικῇ, ἠρέμα εἰς τὸ οὖς διαλέγεται. καὶ Ἀφροδίτης ψιθύρου ἱερόν. πνέοντος ἀνέμυ μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται· καὶ Θεόκριτος "ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα" ⟨sch. Nub. 1003⟩. καὶ λόγος ψίθυρος ὁ διάβολος· Σοφοκλῆς ⟨Ai. 148⟩ "τοιούσδε λόγους ψιθύρυς πλάσσων." ψιθυρισμὸς δὲ ἡ τῶν παρόντων κακολογία παρὰ τῷ ἀποστόλῳ ⟨2 Cor. 12 20⟩.

ψιθυριστὴς Ἑρμῆς. ἦν τις Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος. ἐτιμᾶτο δὲ Ἀθήνησι καὶ ψίθυρος Ἀφροδίτη καὶ Ἔρως ψίθυρος. Harp.

ψιθυριστοῦ Ἑρμοῦ καὶ Ἔρωτος καὶ Ἀφροδίτης, ἅπερ πρῶτος ἐποίησεν, ὥς φησι Ζώπυρος, Θησεύς, ἐπεὶ Φαίδρα, ὥς φασιν, ἐψιθύριζε Θησεῖ κατὰ Ἱππολύτυ, διαβάλλυσα αὐτόν. οἱ δὲ ἀνθρωπινώτερόν φασιν Ἑρμῆν ψιθυριστήν, παρὰ τὸ ἀνθρώπυς ἐκεῖ συνερχομένυς τὰ ἀπόρρητα συντίθεσθαι καὶ ψιθυρίζειν ἀλλήλοις περὶ ὧν βούλονται.

ψιλεύς ἐπ' ἄκρυ χοροῦ ἱστάμενος. ὅθεν καὶ φιλόψιλος παρὰ Ἀλκμᾶνι ἡ φιλοῦσα ἐπ' ἄκρου χοροῦ ἵστασθαι.

ψιλοδάπιδας τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγυσι.

ψιλοί οἱ μὴ καθωπλισμένοι μέν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι ἢ λίθῳ ἢ ξύλῳ ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ τοξόται, παρὰ τὸ σκευῇ ψιλῇ χρῆσθαι ⟨sch. Thuc. 1 60⟩.

ψιλοκόρρης φαλακρός.

ψιλόν γυμνόν. καὶ ἀντὶ τοῦ ἔρημον· ⟨Polyb. 11 1⟩ "τὰ δὲ θηρία ὕστερον ἑάλω ψιλὰ τῶν Ἰνδῶν."

ψιλός. τάξις ἐστὶν ἀγεννεστάτη, ἥτις προβάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου, γυμνῶν ἀόπλων· καὶ ἐὰν ταραχὴ γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. ⟨A Th. 239⟩ "οἴμοι κακοδαίμων, ψιλὸς αὖ ςρατεύσομαι." τοῦτο δὲ εἴρηκε διότι ἐψίλωτο. Εὐνάπιος δὲ λέγει "ψιλὸν δὲ οἷον κοῦφον. αὐξίλια δὲ οἱ Ῥωμαῖοι τὰ τέλη ταῦτα προσαγορεύυσι, τὸ τῆς βοηθείας ὀξὺ καὶ παρὰ τὰς χρείας εὐκίνητον ὅτω προσαγορεύοντες." καὶ ἡ τραγῳδία ⟨S Phil. 953⟩ "αὖθις αὖ πάλιν εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν." λέγεται καὶ ψιλὴ ἡ ἀσθενής.

ψίμαρον ⟨an χίμαρον⟩ εὐδιαῖον.

ψιμύθιον χρῶμα ἑταιρικόν.

ψινάδες παρὰ Θεοφράςῳ ⟨H. P. 4 14 6⟩ αἱ ῥοάδες αἱ ἄμπελοι. ἔνιοι τὰς δρυπέπεις ἐλαίας.

ψινάζει ἀπορρεῖ τὰ ἀσθενῆ τοῦ καρποῦ, φυλλορροεῖ.

ψινύθιον φαῦλον.

ψίξ. ψιχός κλίνεται.

ψίτται ἰχθύων γένος.

ψιττακίαν ὑποδήματος γυναικείου γένος.

ψιττακός ὄνομα ὀρνέου ⟨cf. γλῶττα extr.⟩.

ψίχες ἀρσενικῶς, οἱ ψίχες καὶ τοὺς ψίχας. ὁ δὲ Θεολόγος ⟨Gregor. Naz. p. 646 B⟩ θηλυκῶς λέγει "ψὶξ παραδραμοῦσα, τὸ φαυλότατον." καὶ ψιχίον.

ψίω τὸ ἐμβρωματίζω, καὶ ψίσαι ψωμίσαι, καὶ ψισθεῖεν ψωμισθεῖεν, τραφεῖεν διὰ ψιχῶν. καὶ ψιώχω.

ψόα τὸ μέρος τοῦ σώματος. ἐν ταύταις ἔγκεινται οἱ νεφροί, δι' ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι. καὶ ὁ Δαβὶδ "ὅτι αἱ ψόαι μȣ ἐπλήσθησαν ἐμπαιγμάτων" ⟨Theodoret. in Ps. 37 8⟩.

ψόγος ἡ κακολογία.

ψόθος ἀκαθαρσία· οὕτως Φρύνιχος.

ψοιά. ψύα δέ, καὶ πληθυντικῶς τὰ ψύη.

ψοίθης ἀλαζών.

ψοῖθος σποδός.

ψολόεν φλογόεν πῦρ.

ψολόεντα κεραυνόν ⟨Hom. ω 538⟩ τὸν ὀξέως φθείροντα. ὁ ψολόεις ἡ εὐθεῖα.

ψολοκομπία ἀλαζονεία· Ἀριστοφάνης Ἱππεῦσιν ⟨693⟩ "ἤσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις," μεγαλοδοξίαις καὶ μεγαληγορίαις, ἀπὸ τῶν προειρημένων ὀνομάτων, τοῦ βροντᾶν καὶ ταράττειν τὴν γῆν καὶ κρημνοὺς ἐρείδειν καὶ κεραυνοῖς χρῆσθαι· τῶν γὰρ κεραυνῶν οἳ μὲν καταιβάται, οἳ δὲ ψολόεντες, οἱ κατὰ τὴν ψαῦσιν ὀλλύντες, οἳ δὲ ἀργῆτες καλοῦνται.

ψούδια ψευδῆ Κρῆτες.

ψοφοδεής δειλός, τοὺς ψόφȣς φοβούμενος.

ψόφος. ὅτι ὁ ψόφος ὃ μὲν δυνάμει ὃ δὲ ἐνεργείᾳ, καὶ τὰ μὲν δύναται ψοφεῖν τὰ δὲ οὔ. τὰ μὲν οὖν δυνάμενα ψοφεῖν ἐστὶ τὰ στερεὰ καὶ λεῖα, ἐν οἷς ἐστὶν ὁ δυνάμει ψόφος, ὅταν ἐνεργῇ, καθό ἐστι ψοφητικά. ἡ γὰρ ἐπιτηδειότης τοῦ δύνασθαι ψοφεῖν, οὗτός ἐϛιν ὁ δυνάμει ψόφος· ὅταν δὲ δυνάμενα ποιῇ, ȣ̂τός ἐϛιν ὁ ἐνεργείᾳ. ἔϛι δὲ ψόφος πληγὴ ἀέρος τοιῶσδε γινομένη. δεῖ γὰρ εἰς τὸ γενέσθαι ψόφον δύο σκληρῶν καὶ λείων σωμάτων ἀθρόαν συνέμπτωσιν πρὸς ἄλληλα γενέσθαι· ἐν γὰρ τούτοις ὁ ἐναπολαμβανόμενος ἀὴρ ἀθρόως ἐκθλιβόμενος ποιεῖ τὸν ψόφον. οὔτε γὰρ τὰ μαλακὰ τῶν σωμάτων ψόφον ποιεῖ, οἷον σπόγγος ἔρια, οὔτε τὰ σκληρὰ μὲν ἠρέμα δὲ καὶ κατὰ μικρὸν προσκρουόμενα· φθάνει γὰρ κατὰ μέρος οἷον θρυφθῆναι ὁ ἀήρ. διὸ δεῖ τῆς σφοδρᾶς τῶν σκληρῶν σωμάτων συνεμπτώσεως, ἵνα πολὺς ὁ ἀὴρ ἐναποληφθῇ μεταξύ· ὃς ἐναπολαμβανόμενος καὶ ἀθρόως ἐξωθούμενος ποιεῖ τὸν ψόφον. φθάνȣσα γὰρ ἡ πληγὴ τὴν ἔξοδον αὐτοῦ ἀποκλείει καὶ ἀθρόον ἐκπυρηνίζει. τὰ δὲ μαλακὰ οὐ ψοφεῖ, διότι οὐχ οἷά τε ἐστὶν ἐξωθῆσαι τὸν ἀέρα τὸν ἐναποκλειόμενον· διὰ γὰρ τῶν πόρων, μανὰ γάρ ἐστι τὰ μαλακά, κατακερματισθεὶς ἔξεισι. δεῖ δὲ καὶ λειότητος τοῖς πλήττȣσι μάλιστα πρὸς τὸ πλείονα γενέσθαι τὸν ψόφον, διότι πλέον ἐναπολαμβανόμενος ὁ ἀὴρ ἐκθλίβεται ἀθρόως. ἐν δὲ τοῖς μὴ λείοις κατακερματίζεται ἐν τοῖς κοιλώμασι πλείοσιν οὖσι, καὶ οὐκ ἀθρόος ἔξεισι. λέγει καὶ ἕτερα περὶ ἠχῆς, ἃ παραλελοίπαμεν. ψοφητικὸν δέ ἐστι τὸ δυνάμενον ἕνα καὶ συνεχῆ τὸν ἀέρα τηρῆσαι μέχρι τῆς ἀκοῆς. συμφυὴς δέ ἐστι καὶ ἐγκατῳκοδομημένος τοῖς κοιλώμασι τῶν ὤτων πρὸς αὐτῇ τῇ μήνιγγι ⟨Philopon. in Aristot. de an. 2⟩.

ψόφȣ πλέως ἀντὶ τοῦ ταραχώδης. περὶ Αἰσχύλȣ φησί ⟨A Nub. 1370⟩· τὰ γὰρ ῥήματα Αἰσχύλȣ φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. ταῦτα ȣ̂ν λέγει ἀξύστατον, οἷον ἀδιάθετον, ἀπιθάνως συντιθέντα, κομπώδη. κρημνοποιὸν δέ, μεγάλας λέξεις ποιοῦντα. καὶ ⟨A Ach. 931⟩ "ψοφεῖ λάλον τι καὶ πυρορραγές." πυρορραγῆ κεράμια καλεῖται, ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι.

ψύα τὸ μέρος τȣ̃ σώματος. καὶ τὰ ψύη πληθυντικόν.

ψυγείσῃ Ἀριστοφάνης ⟨Nub. 151⟩ ἀντὶ τȣ̃ ἀποθανȣ́σῃ.

ψύγω αἰτιατικῇ.

ψύδραξ τὸ ἐπὶ τȣ̃ σώματος ἐξάνθημα.

ψύθος ψευδές, ψεῦδος· "καὶ ȣ̓ ψύθος οὔνομ' ἔχȣσα," ἀντὶ τȣ̃ ψευδές, παρὰ Καλλιμάχῳ.

ψυκτήρ σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια.

ψυκτῆρα κάδδον, ἢ ποτήριον μέγα, ἀπὸ τοῦ θᾶττον ψύχεσθαι ἐν αὐτῷ τὴν κρᾶσιν.

ψύλλα καὶ ψύλλαι θηλυκῶς. παρὰ δὲ Ἡροδότῳ ⟨4 173⟩ Ψύλλοι ἔθνος Λιβύης. καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου κύριον ὄνομα. ὅτι δὲ τὸ ζῷον τὸ μικρὸν ἀρσενικῶς Ἐπίχαρμος εἶπε καὶ ἕτεροι. Ἀριστοφάνης

(Nub. 144) "ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας." ὅτι ἱστόρηται ὡς ἡ ψύλλα ἓξ πόδας ἔχει.

ψύλλειον βοτάνη. καὶ ψυλλίζω αἰτιατικῇ.

ψύξας φυσήσας. ἢ ἀμβλύνας.

Ψύρα τὸν Διόνυσον ἄγοντες." ἡ παροιμία παρὰ Κρατίνῳ. τὰ δὲ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

ψυταλίων.

ψυχαγωγεῖ αἰτιατικῇ παραμυθεῖται, τέρπει. ἢ ψυχὰς ἀνάγει· Ἀριστοφάνης Ὄρνισι (1532) "πρὸς δὲ τοῖς Σκιάποσι λίμνη ἐστίν, οὗ ψυχαγωγεῖ Σωκράτης." περὶ ψυχαγωγίας. γοητείας τινὰς ποιοῦσιν ἐς τοὺς νεκρούς. ἐπὰν γὰρ ἐς τὰ χωρία ἀφίκωνται ὅθεν ἄγειν ἔστι τὰς ψυχὰς ἃς ποθοῦσιν οἱ δεόμενοι, ἀφικνοῦνται ἔνθα τεθνᾶσιν οἱ ψυχαγωγούμενοι· καὶ οὐχ εὑρίσκουσι παραχρῆμα τὸν χῶρον, ἀλλὰ ἀνιχνεύουσι τὸν τρόπον τοῦτον. πρόβατον μέλαν παραλαβόντες, εἶτα τοῦ κέρατος τοῦ ἑτέρου λαβόμενοι ἢ τῶν ποδῶν τῶν προσθίων, καὶ ἐπὶ τοῖς ποσὶ τοῖς ἄλλοις στήσαντες περιάγουσι· τὸ δὲ ἕπεται τῇ ἕλξει καὶ μάλα εὐπειθῶς. ὅταν δὲ ἀφίκηται ἔνθα ἐκεῖνος ἢ ἐκείνη κατηνέχθη, ἐνταῦθα τὸ πρόβατον ἑαυτὸ ἔρριψεν· καὶ τούτου γενομένου, εἶτα τὸ πρόβατον ἐκποδὼν ποιήσαντες καὶ κατακρύψαντες, σὺν καί τισι ποικίλαις ἱερουργίαις καὶ ἐπῳδαῖς περιηγοῦνται καὶ περιέρχονται αὐτά, καὶ ἀκούουσι λεγόντων, καὶ τὰς αἰτίας δι' ἃς μηνίουσι πυνθάνονται. ἐψυχαγώγησε δὲ καὶ Ἀντωνῖνος ὁ Ῥωμαίων βασιλεὺς περὶ Κομόδου τοῦ πατρὸς αὐτοῦ.

φησὶ Πολύβιος "οὗτοι μὲν περὶ ταῦτα διέτριβον, ψυχαγωγοῦντες τὰς δυνάμεις," ἀντὶ τοῦ παραμυθούμενοι.

ψυχάζειν ἀναψύχειν ⟨Theophyl. Sim. 7 4⟩ "οἱ δὲ ἀποβάντες τῶν ἵππων ἐνεχείρουν ψυχάζειν τοῖς τε ἵπποις ἀνακωχῆς μεταδιδόναι τινός."

ψυχάζουσι πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν. ἔστι δὲ ὅμοιον τῷ χειμάζειν. "οὐδέ τις αὐτοῖς τὴν ἀσπίδα ἢ τὸν θώρακα ἔφερε, ψυχάσαι τοῖς δεομένοις."

ψύχειν καὶ ἀποψύχειν τὰ ὑγραινόμενα.

ψυχεινὸς τόπος ὁ ψυχρός.

ψύχεται ἀντὶ τοῦ ψυχραίνεται, μαραίνεται· ἐν ἐπιγράμματι ⟨AP 5 239⟩ "καὶ φλὸξ ἐν τελεταῖς, ὅτε θύματα πάντα λαφύξει, φορβῆς ἡ μανίη ψύχεται αὐτομάτως."

ψυχή πνεῦμα νοερόν.

ὅτι μέρη τῆς ψυχῆς ἢ εἴδη τρία, λογι- b
ζόμενον θυμούμενον ἐπιθυμοῦν. ἀναγκαίως οὖν καὶ τριττὴ πολιτεία ἐγένετο, ἔχουσα ἑκάστη τὰς τρεῖς, ἀλλὰ τῷ κρατοῦντι ἑνὶ τὸ πᾶν μορφουμένη. καὶ τὴν μὲν προϊέναι κατὰ λόγον, ἣν ἄν τις τὴν ἐπὶ Κρόνου ὀνομάσειε ζωήν τε καὶ πολιτείαν· τὴν δὲ κατὰ θυμόν, διανισταμένην εἰς πολέμους καὶ μάχας περὶ πρωτείων καὶ δόξης, οἷα τὰ ἐν ταῖς ἱστορίαις θρυλλόμενα· τὴν δὲ κατ' ἐπιθυμίαν, πανταχῇ διαρρέουσαν καὶ ὑπὸ τρυφῆς ἀκολάστου διεφθαρμένην, ταπεινὰ καὶ γυναικεῖα φρονοῦσαν, δειλίᾳ σύνοικον καὶ ἐν πάσῃ ὑηνίᾳ καλινδουμένην, φιλοχρήμονα, δουλοπρεπῆ, οὐδὲν τίμιον οὐδὲ ἐλεύθερον διαπραττομένην, ἀνδραποδώδη καὶ ἀσθενῆ, γαστρὶ καὶ αἰδοίοις ἀεὶ τὴν εὐδαιμονίαν μετροῦσαν, οὔτε θυμῷ γενναίῳ χρωμένην, οἷον σῶμα παρειμένον ἐν μιᾷ χώρᾳ κείμενον ἐκνενευρισμένον, οὐδὲ κινεῖσθαι ἔτι δυνάμενον. καὶ πολλῷ χαμαιπετεστέραν ἐπεδείκνυτο τὴν ζωὴν τῶν νῦν ἐν τῇ γενέσει πολιτευομένων ἀνθρώπων ⟨Damasc. Phot. p. 336 b⟩.

ὅτι Πλάτων τὴν τῶν ἀλόγων ψυχὴν ἐν c
τοῖς ἑαυτοῦ διαλόγοις θνητὴν ὡμολόγηκεν.

ὅτι τὰ τῆς ψυχῆς ἅπαντα παθήματα τοῦ d
συναμφοτέρου ἐστὶ καὶ οὐκ ἴδια τῆς ψυχῆς. ὡσαύτως καὶ ἡ νόησις.

ὅτι τοῦ ζῆν αἴτιον τοῖς ζῶσι τὸ πεζότατον e
καὶ ἔσχατον μόριον τῆς ψυχῆς. τὴν γὰρ φυτικὴν δύναμιν ἀποδίδωσιν Ἀριστοτέλης αἰτίαν τοῦ ζῆν. οὐδὲν γὰρ ἀμοιροῦν ταύτης ζῆν δύναται· διὸ καὶ τὰ μόνης αὐτῆς μετέχοντα ζῇ, λέγω δὴ τὰ φυτά. μίαν δὲ οὐσίαν βούλεται τῆς ψυχῆς εἶναι, ἐκ διαφόρων συγκειμένην οὐσιῶν ἡνωμένων.

ψυχίδιον ἡ ψυχή. καὶ ψυχάριον παρὰ Ἰουλιανῷ.

ψυχικὸς σαρκικός. σημαίνει δὲ καὶ τὸν ἀνδρειόθυμον· οὕτως Ἀλέξις.

**ψυχικὸς ἄνθρωπος** (1 Cor. 2 14). ἐκ ψυχῆς καὶ σώματος ὁ ἄνθρωπος. ὅταν μὲν οὖν πράττῃ τι τῶν τῷ θεῷ δοκούντων, πνευματικὸς λέγεται, καὶ οὐκ ἀπὸ τῆς ψυχῆς ὀνομάζεται, ἀλλ᾽ ἀφ᾽ ἑτέρας μείζονος τιμῆς, τῆς ἀπὸ τοῦ πνεύματος ἐνεργείας. οὐ γὰρ ἀρκεῖ ἡ ψυχὴ εἰς κατόρθωμα, εἰ μὴ ἀπολαύσοι τῆς τοῦ πνεύματος βοηθείας. ὥσπερ δὲ σαρκικὸς ἄνθρωπος λέγεται ὁ τῇ σαρκὶ δουλεύων, οὕτω ψυχικὸν καλεῖ ὁ ἀπόστολος τὸν τοῖς ἀνθρωπίνοις λογισμοῖς τὰ πράγματα ἐπιτρέποντα καὶ μὴ δεχόμενον τὴν τοῦ πνεύματος ἐνέργειαν. καὶ πάλιν, ὅταν μὲν κατορθώσωμεν ἀρετήν, πνευματικοὶ λεγόμεθα, ὅταν δὲ ὑποσκελισθῶμεν καὶ πράξωμέν τι ἐναντίον ἀπὸ τῆς εὐτελοῦς φύσεως, γῆν ἡμᾶς ὀνομάζει. καὶ ὁ προφήτης (Genes. 11 4) "πατάξει" φησί "τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ," οὐ περὶ γῆς λέγων, ἀλλὰ περὶ τῶν ἁμαρτιῶν. καὶ πάλιν (11 1) "ἐγένετο πᾶσα ἡ γῆ χεῖλος ἕν," περὶ τῶν ἁμαρτιῶν λέγων. καὶ ὁ Ἀβραὰμ ἑαυτὸν ἐξευτελίζων λέγει (18 27) "ἐγὼ δέ εἰμι γῆ καὶ σποδός." καὶ πάλιν (Sirac. 10 9) "ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐντόσθια αὐτοῦ," τὴν γαστέρα λέγων.

αἱ ψυχαὶ τῶν βιοθανατούντων οὐ κατὰ τὴν τῶν πολλῶν δόξαν γίνονται δαίμονες, ἀλλὰ τῶν ἁμαρτανόντων, οὐ τῆς οὐσίας αὐτῶν μεταβαλλομένης, ἀλλὰ τῆς προαιρέσεως τὴν ἐκείνων μιμουμένης κακίαν. τοῦτο καὶ ὁ Χριςὸς ἔλεγε τοῖς Ἰουδαίοις. (ev. Ioann. 8 44) "ὑμεῖς τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ."

ψυχόλεθρος.

ψυχομαχοῦντες· Πολύβιος (1 59) "οἱ δὲ Ῥωμαῖοι ψυχομαχοῦντες, σχεδὸν ἤδη ε΄ ἔτη τῶν κατὰ θάλασσαν πραγμάτων ὁλοσχερῶς ἀφεστηκότες." (ibid.) "ἦν δὲ καὶ τῆς ὕστερον ἐπιβολῆς τὸ πλεῖον ψυχομαχία," περὶ τῆς ψυχῆς μάχη.

ψυχόμενος δρόσῳ ἐν καμίνῳ.

ψυχορροφεῖν τὴν ψυχὴν ἐκπίνειν.

ψῦχος. καὶ ψύχη τὰ ψυχρά.

ψυχουλκούμενος τὴν ψυχὴν ἑλκόμενος.

ψυχρολογία ψευδολογία, ἀκαιρολογία. καὶ ψυχρολόγος ἄνθρωπος ὁ μηδὲν ἀγαθὸν λέγων.

ψυχρός ἀσθενής. ἦν δὲ ὁ Μόρσιμος Φιλοκλέους τοῦ ποιητοῦ υἱός, τραγῳδίας ποιητὴς ψυχρός. ἦν δὲ καὶ ἰατρός (sch. A Eq 400).

ψυχρὸς ἄνθρωπος ἀντὶ τοῦ δυσκίνητος· Ἰώσηπος (B. I. 6 1 3) "ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν."

ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας" ἀντὶ τοῦ ταλαιπώρου, Ἀριστοφάνης Πλούτῳ (263). ἢ ἐπιμεμφόμενος διὰ τὸ γῆρας. καὶ αὖθις (Ach. 138) "ἡνίκα Θέογνις ἠγωνίζετο, κατένιψε τὴν Θρᾴκην χιόνι πολλῇ, καὶ τοὺς ποταμοὺς ἔπηξεν ὑπ᾽ αὐτὸν τὸν χρόνον." οὗτος τραγῳδίας ποιητὴς ψυχρός· κωμῳδῶν οὖν αὐτὸν παρίστησι τὴν πολλὴν χιόνα τῆς τούτου περὶ τὰ ποιήματα ψυχρότητος.

ψυχωφελές. καὶ ψυχωφέλεια.

ψῶζα νόσος τις· Εὔπολις Μαρικᾷ "ὃς θυμῆνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν." οἱ δέ φασι καὶ τὸ τῆς νόσου εἶδος, ὅτι κνησμὸς μετὰ δυσωδίας.

ψωθία τὰ ὑποκάτω τοῦ ἄρτου.

ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου." ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν (960), ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ διεσκυλμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται "ἄχρι τοῦ λάρυγγος."

ψωλός ὁ λιπόδερμος, ὀξυτόνως. καὶ ἀκρόψωλος ὁ ἐπὶ βραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τοῦ μορίου. Ἀριστοφάνης (Av. 507) "κόκκυξ, ψωλοὶ πεδίονδε," ἀντὶ τοῦ κόκκυγος κρώζοντος τὰ πεδία θερίζομεν. οἱ δὲ Αἰγύπτιοι ψωλοὶ λέγονται εἶναι, τουτέστι περιτετμημένοι. φησὶν οὖν ὅτι ὅταν ὁ κόκκυξ κοκκύσῃ, οἱ ψωλοὶ ἤρχοντο εἰς τὸ πεδίον. τουτέστιν οἱ μεγάλα αἰδοῖα ἔχοντες. Ἀριστοφάνης Ὄρνισι "τοῦτ᾽ ἄρ᾽ ἐκεῖν᾽ ἦν τοὔπος ἀληθῶς, κόκκυ ψωλοὶ πεδίονδε." καὶ αὖθις "ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου," ἀντὶ τοῦ μέχρι τῆς κεφαλῆς, ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ ἀπεσκολύφθαι τὸ αἰδοῖον. "μολγὸν γενέσθαι δεῖ σε," τουτέστι κλέπτην τῶν δημοσίων ἐξαμέλγοντα τὰ κοινά.

ψωμίζεται ἀπατᾶται, χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. Ἀριστοφάνης (Eq. 712) "ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται," οἷς ἀπατᾶται, οἷς χαίρει. καὶ (Ps. 80 5) "ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων."

ψωμίζω καὶ ψωμιῶ αἰτιατικῇ.

ψωμοκόλακες οἱ παράσιτοι, ὡς Φιλιππίδης.

ψωμόλεθρος ὁ πολυφάγος.

ψωμός ὁ ἄρτος.

ψώρα κνησμονή.

Ψωρίς ὄνομα πόλεως.

ψῶσαν θάλπυσαν, Ἡρόδοτος ⟨6 61⟩.

ψώχοντες θρύπτοντες, λεπτύνοντες.

ψῶχος γῆ ψαμμώδης.

ὦα μηλωτή, διφθέρα. καὶ τὸ λῶμα τȣ̃ ἐνδύματος περὶ τὴν πέζαν· ἢ τὸ περιστόμιον. ὤαν ἐκάλεσεν ὁ Δαβὶδ ὃ καλοῦμεν περιτραχήλιον· οἱ δὲ στόμα ἐνδύματος εἰρήκασιν, οἱ δὲ τὴν ἀνάκλασιν τȣ̃ ἱματίȣ. "ἐπὶ τὴν ὤαν τȣ̃ ἐνδύματος αὐτοῦ" ⟨Theodoret. in Ps. 132⟩.

ᾠά τὰ ἐκ τῶν κατοικιδίων ὀρνίθων γεννώμενα.

ὠατοθήσω ἀκούσομαι, Δωριεῖς.

ὠβάς παρὰ Πλουτάρχῳ ⟨Lycurg. 6⟩.

ὠβέλισται ἠθέτηται, ἠλλοτρίωται· ὁ γὰρ ὀβελὸς ἐν τοῖς βιβλίοις ἀθετήσεως σύμβολον.

Ὢγ βασιλεὺς τῆς Βασάν, καὶ Σηὼν βασιλεὺς τῶν Ἀμορραίων, οἳ ἐπὶ δυναστείᾳ ἐσεμνύνοντο. ὁ δὲ Ὢγ καὶ κλίνῃ ἐκέχρητο σιδηρᾷ, διὰ τὸ τοῦ σώματος μέγεθος θʹ μὲν πήχεις τὸ μῆκος εʹ δὲ τὸ εὖρος ἐχούσῃ. ὁ βασιλεὺς τῆς Βασὰν Ὢγ προσαγορεύεται, τουτέστι διάφραξις, ὡς τῶν ἔργων τῆς αἰσχύνης (τοῦτο γὰρ ἡ βασάν) τὴν ὁδὸν τῆς σωτηρίας ἡμῖν ἀποφρασσόντων. ὃν ἀποκτενεῖ κύριος ἐπ' ἐλευθερίᾳ τῶν κρατουμένων.

ὠγαθέ ἀντὶ τȣ̃ ὦ ἀγαθέ.

ὠγενίδαι ἀρχαῖοι.

ὠγκώθη· "κἀκ τȣ́τȣ ἐπὶ πλεῖον ὠγκώθη ἢ κατὰ τὸ ὑπάρχον."

ὤγμευον Ξενοφῶν ἐν βʹ ⟨Cyr. 2 4 20⟩ ἀντὶ τοῦ ἐπορεύοντο, παρὰ τὸν ὄγμον τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων.

ᾤγνυντο ἠνοίγοντο.

Ὠγύγια κακά, ἐπὶ τῶν σχληρῶν, ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγȣ διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. ἄμεινον δὲ λέγειν Ὠγύγια κακὰ τὰ παλαιά· τȣ̃το γὰρ ἡ λέξις δηλοῖ.

Ὠγύγιον ἀρχαῖον, παλαιόν· ἢ ὑπερμέγεθες. ἢ διὰ τὸ Ὤγυγον πρῶτον ἄρξαι τῶν Θηβῶν.

ὧδε ȣ̓ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε, ὡς ἡμεῖς· Κρατῖνος Δραπέτισι "τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένȣς τινὰς εἶναι." Ἀριστοφάνης Κωκάλῳ "ἐκδότω δέ τις καὶ ψηφολόγιον ὧδε καὶ δίφρω δύο." καὶ Πλάτων που κέχρηται ἀντὶ τοῦ δεῦρο καὶ ἐνθάδε. τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ· Εὔπολις Ταξιάρχοις "οὐκ ἦν φυλάττῃ γ' ὧδ' ἔχων τὴν ἀσπίδα."

ὧδέ πως οὕτω πως.

ᾠδεῖ ὠγκοῦτο.

ὦ δειλακρίων σύ ⟨A Av. 143⟩ ἀντὶ τȣ̃ ὦ κακόδαιμον καὶ δειλότατε.

ᾠδεῖον Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποίηκεν, ὥς φασί, Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μȣσικούς· διὰ τοῦτο γὰρ καὶ ᾠδεῖον ἐκλήθη, ἀπὸ τῆς ᾠδῆς. ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος. διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ.

ᾠδή τραγῳδία.

ᾠδηκός φλεγμαῖνον, πεφυσιωμένον· "ᾠδηκός τε γὰρ ἦθος ὑπὸ πλούτου καταστέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας, καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει καὶ ἀταπείνωτον εἶναι παρασκευάζει τῷ καταμελιτȣ̃ντι τὰς ἁπάντων ἀκοὰς διηγήματι, ὑφ' οὗ κἂν Ξέρξης ἐπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην στρατιὰν ἐλάσας ἐπὶ τοὺς Ἕλληνας."

ᾠδηκώς οἰδήσας, φυσήσας.

ὠδίν ὠδῖνος, ταῖς ὠδῖσι.

ὠδῖνες θανάτȣ καὶ παγίδες οἱ θανατηφόροι κίνδυνοι· Δαβίδ ⟨Ps. 17 6⟩ "ὠδῖνες ᾅδȣ περιεκύκλωσάν με· προέφθασάν με παγίδες θανάτȣ." ὠδῖνες καλοῦνται αἱ πρὸ τοῦ τοκετοῦ τῆς τικτούσης ὀδύναι. τοιγαρȣ̃ν ἐκ τῆς μεταφορᾶς ταύτης ὠδῖνες ᾅδȣ προσαγορεύονται αἱ αὐτὸν προσπελάζειν τῷ θανάτῳ παρασκευάζουσαι συμφοραί ⟨Theodoretus in Ps. 114 3⟩.

ὤδινον ἐνεκυμόνησαν, ἀπέτεκον· "ὃ δὲ ἦν πλούτῳ καὶ γένει διαφανής. ἐκȣ̃ν οἱ πολῖται ὤδινον κατ' αὐτȣ̃ φθόνον γενναῖον." "ὠδίνων τὴν καθ' ἡμῶν λοιδορίαν ἄθρουν ἐξέχεας" ἀντὶ τοῦ ἀθρόως, ὁμοῦ.

ὡδί πῃ, καὶ ὡδί πως.

ὠδίς ἡ ἐκ τοῦ τοκετοῦ ὀδύνη· "ὃ δὲ ἐξειπεῖν τὴν ὠδῖνα ἣν ἐκύει οὐκ ἐτόλμα, τὴν ἐλπίδα τοῦ ἴσως ἄν ποτε τυχεῖν ἐν τῷ κρύπτειν ὑποθάλπων ἄρ' ἐκεῖνος" ⟨Aelianus?⟩.

ᾠδόν ᾠδικόν, ψάλτην· ἐν ἐπιγράμματι